διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. [9]καὶ γνωσθήσεται ἐν τοῖς 9
ἔθνεσιν τὸ σπέρμα αὐτῶν καὶ τὰ ἔκγονα αὐτῶν· πᾶς ὁ ὁρῶν αὐ-
τοὺς ἐπιγνώσεται αὐτούς, ὅτι οὗτοί εἰσιν σπέρμα ηὐλογημένον ὑπὸ
θεοῦ [10]καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ κύριον. — ἀγαλλιάσθω 10
ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσεν γάρ με ἱμάτιον σωτηρίου καὶ
χιτῶνα εὐφροσύνης ὡς νυμφίῳ περιέθηκέν μοι μίτραν καὶ ὡς νύμ-
φην κατεκόσμησέν με κόσμῳ. [11]καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος 11
αὐτῆς καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ κύριος
δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν.
[1]Διὰ Σιων οὐ σιωπήσομαι καὶ διὰ Ιερουσαλημ οὐκ ἀνήσω, ἕως 62
ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμ-
πὰς καυθήσεται. [2]καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου καὶ βα- 2
σιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινόν, ὃ
ὁ κύριος ὀνομάσει αὐτό. [3]καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ 3
κυρίου καὶ διάδημα βασιλείας ἐν χειρὶ θεοῦ σου. [4]καὶ οὐκέτι κλη- 4
θήσῃ Καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται Ἔρημος· σοὶ
γὰρ κληθήσεται Θέλημα ἐμόν, καὶ τῇ γῇ σου Οἰκουμένη. [5]καὶ ὡς 5
συνοικῶν νεανίσκος παρθένῳ, οὕτως κατοικήσουσιν οἱ υἱοί σου
μετὰ σοῦ· καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ,
οὕτως εὐφρανθήσεται κύριος ἐπὶ σοί. [6]καὶ ἐπὶ τῶν τειχέων σου, 6
Ιερουσαλημ, κατέστησα φύλακας ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν
νύκτα, οἳ διὰ τέλους οὐ σιωπήσονται μιμνῃσκόμενοι κυρίου. [7]οὐκ 7
ἔστιν γὰρ ὑμῖν ὅμοιος, ἐὰν διορθώσῃ καὶ ποιήσῃ Ιερουσαλημ ἀγαυ-
ρίαμα ἐπὶ τῆς γῆς. [8]ὤμοσεν κύριος κατὰ τῆς δεξιᾶς αὐτοῦ καὶ 8
κατὰ τῆς ἰσχύος τοῦ βραχίονος αὐτοῦ Εἰ ἔτι δώσω τὸν σῖτόν σου
καὶ τὰ βρώματά σου τοῖς ἐχθροῖς σου, καὶ εἰ ἔτι πίονται υἱοὶ
ἀλλότριοι τὸν οἶνόν σου, ἐφ᾽ ᾧ ἐμόχθησας· [9]ἀλλ᾽ ἢ οἱ συνάγοντες 9
φάγονται αὐτὰ καὶ αἰνέσουσιν κύριον, καὶ οἱ συνάγοντες πίονται
αὐτὰ ἐν ταῖς ἐπαύλεσιν ταῖς ἁγίαις μου. [10]πορεύεσθε διὰ τῶν πυ- 10
λῶν μου καὶ ὁδοποιήσατε τῷ λαῷ μου καὶ τοὺς λίθους τοὺς ἐκ

9 εγγονα S | αυτων 2° AQSc] + εν μεσω των λαων BS*LC (in O sub ※) || 10 ευφροσυνη] -νην S*, pr. εν A† | ως νυμφιω / περιεθ. μοι] tr. B: cf. 𝔐 || 11 γη αυξουσα L | το > S*† | κηπον AQ | αυτου] + ※ανατελει O, + εκφυη L | κυριος] + κυριος B = 𝔐

62 1 μου 1°] αυτης BL = 𝔐: sic 2° L tantum || 2 σου ult. > BL: cf. 𝔐 | αυτον S || 4 ου κληθησεται] + ετι BV† = 𝔐, ουκετι κληθ. L | τη γη] η γη ScC† | fin.] + οτι ευδοκησεν (sic B*C, sed BcLO -σει) κυριος εν σοι και η γη σου συνοικισθησεται (C οικηθ.) BLC (in O sub ※) || 5 μετα σου SAC] > BQL | επι νυμφην S || 7 ουκ εστιν γαρ] ου γαρ εστιν S† || 8 δεξιας BcV† (et θ′)] δοξης rel. | ισχυος] δοξης SQ† | σου 1° ⌒ 2° S*† | σου 2° > BV† (V† om. etiam σου 1°) | ει 2° > A† || 9 αλλ η AQScC] η > BS*L | συναγαγοντες 1° BL, 2° BLpCp | αινεσ. — συναγ. 2° et αυτα 2° > S*† | μου] σου A || 10 πορευεσθε] + ※πορευεσθε O, + περιελθετε L | μου 1°] + σκευασατε την οδον L et θ′ | οδοποιησατε] + οδοποιησατε L (in O sub ※) | τους 2° S*AC] > BQScL

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/653 UNIVERSITÄT LEIPZIG